Παμποίκιλα εἶνε τὰ φυτὰ καὶ κατὰ τὴν διάρκειαν τῆς ἑαυτῶν ζωῆς. Ἄλλα τούτων ζῶσιν ἐπὶ ἓν ἔτος, ἄλλα δύο, ἄλλα πλειότερα, καί τινα ἐπὶ πολλὰς ἑτῶν ἑκατονταετηρίδας· ἡ δρῦς, ὡς ἐπὶ παραδείγματι, διατηρεῖται ὑπὲρ τὰ πεντακόσια ἔτη καὶ ὑπὸ τὴν σκιὰν πολλῶν πλατάνων πλεῖσται γενεαὶ ἀνθρώπων ἀνεπαύθησαν· τὸ δὲ μέγιστον τῆς Ἀφρικῆς δένδρον, ἡ *ἀδανσονία* (βαοβάβ), ἔχει ἐνίοτε ἐν τῷ κορμῷ αὐτῆς περίμετρον ὀγδοήκοντα μέχρις ἑκατὸν ποδῶν καὶ ἐκτείνει ὑπεράνω τῶν κοιλάδων κλάδους πεντήκοντα ποδῶν μήκους. Πλεῖστα τῶν δένδρων τούτων, ἅπερ ἤκμαζον πρὸ τῆς γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ, εἰσέτι θάλλουσι· καὶ παρά τισι ἐβεβαιώθη ἡ ἡλικία τρισχιλίων καὶ πλέον ἐτῶν, διακριθέντων ἐκ τῶν ἐν τῷ στελέχει αὐτῶν ἰσαρίθμων κύκλων.

Μορφὴ τῶν φυτῶν. — Ἄνθη.

Καὶ κατὰ τὴν μορφὴν αὐτῶν τὰ φυτὰ μεγάλως ποικίλουσι. Τίς ὄντως δύναται καὶ ν' ἀριθμήσῃ μόνον τὰ μυριόσχημα εἴδη

τῶν φύλλων καὶ τὴν ποικιλίαν τῶν παντοδαπῶν ἀνθέων; Τίς δὲ ζωγράφος ἢ τεχνίτης δύναται νὰ μιμηθῇ τὴν εὐχροιαν, τὴν τρυφερότητα, τὸ γοητευτικὸν κάλλος τοῦ κοινοτέρου ἀνθίνου στεφάνου;

Τί δὲ νὰ εἴπῃ τις περὶ τῆς πνοῆς τῶν ἀνθέων, δι' ἧς ἐν τῇ ἐαρινῇ καὶ θερινῇ ἰδίως ὥρᾳ πληροῦται ἡ ἀτμόσφαιρα; Αἱ ὑπὸ τῶν ἀνθέων ἀναδιδόμεναι ὀσμαὶ ἀνήκουσι βεβαίως ἐν τοῖς ἀπορρήτοις μυστηρίοις, δι' ὧν ἀγγέλλεται τῇ ἡμετέρᾳ ψυχῇ ὁ Πλάστης. Ὁποῖον θέλγητρον ὄντως καταλαμβάνει ἡμᾶς, ὁσάκις ἡ γλυκεῖα ἄνθους τινὸς εὐωδία προσβάλλει τὴν ὄσφρησιν ἡμῶν! Πόθεν δὲ τὸ ὡραῖον ῥόδον, τὸ ἁπλοῦν ἴον, τὸ εὐγενὲς καρυόφυλλον, πόθεν τοσαῦτα ἄλλα ἄνθη ἔχουσι τὰς ἡδυτάτας καὶ παμποικίλους εὐοσμίας, ἃς ἡ ἀνθρωπίνη γλῶσσα ἀδυνατεῖ νὰ ἐκφράσῃ διὰ λέξεων; Διασχίσατε τὰ ἄνθη ταῦτα· θέλετε εὕρῃ μόνον ἴνας, ὕδωρ καί τινα ἐλαιώδη μόρια. Ὁποία τις ἦτο ἡ τροφή, ἐξ ἧς ταῦτα ἀπέκτησαν τὰς ἀρωματώδεις ὀσμάς, ἃς καὶ ὁ εὐρύστερος χημικὸς μάτην ἐπιχειρεῖ ν' ἀπομιμηθῇ; Ὕδωρ καὶ ἀέρος μόρια! Καὶ ἐν τούτοις ὡς ἡ ἀνθεμουργὸς μέλισσα ἐπιστημόνως κατασκευάζει ἐκ τῶν ἀνθέων τὰ τοῦ κηρίου κυττάρια καὶ τὸ γλυκύτατον μέλι, οὕτω καὶ τὰ ἄνθη ἀπὸ τοῦ ὕδατος καὶ ἀπὸ τῶν μορίων τοῦ ἀέρος συνθέτουσι τὰς παντοδαπὰς ἐκείνας εὐωδίας, αἵτινες μεθύσκουσιν ἡμᾶς, καὶ τῶν ὁποίων τὰ στοιχεῖα ματαίως δι' ἁπάσης τῆς ἡμετέρας τέχνης ζητοῦμεν ἐν τῷ ὕδατι καὶ τῷ ἀέρι.

Ὦ! Ὁπόσον θαυμαστὰ καὶ ἀκατάληπτα εἶνε καὶ αὐτὰ τὰ ἐλάχιστα τοῦ Δημιουργοῦ ἔργα! Πάντα διὰ μιᾶς φωνῆς κηρύττουσι τὴν ἐξ Αὐτοῦ προέλευσιν. Ὁ στάχυς τοῦ σίτου, ἡ

τῆς βοτάνης καλάμη, τὸ ταπεινὸν βρύον, τὸ μυροβόλον ἄνθος μυστηριωδῶς μοὶ λέγουσιν: «Ἀπὸ τοῦ Θεοῦ ἐρχόμεθα». Ἡ φύσις ἅπασα εἶνε ναός, ἐν ᾧ ὀφείλομεν νὰ λατρεύωμεν τὸν Θεόν, ἕκαστον δ' αὐτῆς μέρος, καὶ τὸ ἐλάχιστον, ἐν τῷ ναῷ τούτῳ κηρύττει Αὐτόν.

---

60. Αἱ ἐκ τῶν ἀνέμων ὠφέλειαι.

Οἱ ἄνεμοι πολλαχῶς εἶνε ὠφέλιμοι. Καθαρίζουσι τὴν ἀτμόσφαιραν μιγνύοντες πρὸς ἄλληλα τὰ στρώματα τοῦ ἀέρος καὶ διώκοντες τὰς βλαβερὰς ἀναθυμιάσεις καὶ τὰ μιάσματα. Μεταφέρουσι κατὰ διαφόρους διευθύνσεις τὰ νέφη καὶ ἀρδεύουσι τὰς χώρας τῆς γῆς. Συντελοῦσιν εἰς τὴν γονιμοποίησιν καὶ διάδοσιν τῶν φυτῶν τοῦτο μὲν μεταφέροντες ἐξ ἑνὸς ἄνθους εἰς ἕτερον τὴν γονιμοποιὸν γῦριν, τοῦτο δὲ μετακομίζοντες εἰς μεμακρυσμένας χώρας τὰ φυτικὰ σπέρματα. Κινοῦσι τὰ ἱστιοφόρα πλοῖα, τοὺς ἀνεμομύλους καὶ λοιπὰς μηχανὰς ὡς κινητικὴ δύναμις. Αἱ δὲ ὑπ' αὐτῶν προξενούμεναι ζημίαι παραβαλλόμεναι πρὸς τὰς ὠφελείας εἶνε σημαντικῶς μικραί.

Ταχύτης τοῦ ἀνέμου. Ὁ ἀήρ, ὁ τοσοῦτον ἐλαφρῶς θωπεύων ἡμᾶς καὶ μόλις ῥυτιδῶν τὴν ἐπιφάνειαν τῶν ὑδάτων, λαμβάνει ἐνίοτε τοσαύτην ταχύτητα, ὥστε ἐκριζοῖ ἰσχυρότατα δένδρα καὶ ἀνατρέπει στερεώτατα πολλάκις κτίρια. Μετρεῖται δὲ ἡ ταχύτης αὕτη διά τι-

νος ὀργάνου, *ἀνεμομέτρου* καλουμένου, ὅπερ εἶνε μικρός τις μύλος συγκείμενος ἐκ πτερυγίων περιστρεφομένων ὑπὸ τοῦ ἀνέμου. Ἐκ τοῦ ἀριθμοῦ τῶν περιστροφῶν τούτων ἐν ὡρισμένῳ χρόνῳ ὑπολογίζεται ἡ ταχύτης τοῦ ἀνέμου. Ἄνεμος διατρέχων κατὰ δεύτερον λεπτὸν 10 μέτρα καλεῖται *ἰσχυρός*, 20 μέτρα *σφοδρός*, 25—30 *καταιγὶς* καὶ 30—40 *λαῖλαψ* καὶ *θύελλα*. Αἱ καταιγίδες καὶ αἱ λαίλαπες, σπάνιαι οὖσαι εἰς τὰς ἡμετέρας χώρας, συχνότατα ἐνσκήπτουσιν εἰς τὰς κατὰ τὸν ἰσημερινὸν χώρας, ἀνυψοῦσαι καὶ ἐκσφενδονίζουσαι εἰς μεγάλας ἀποστάσεις δίκην ἀχύρων τὰς δοκοὺς καὶ τὰς στέγας τῶν οἰκιῶν καὶ ἐν γένει προξενοῦσαι φρικώδεις καταστροφὰς εἴς τε τὰ δάση καὶ τὰς φυτείας.

Ὅσῳ δὲ ταχύτερον κινεῖται ὁ ἄνεμος, τοσούτῳ αὐξάνει καὶ ἡ δύναμις αὐτοῦ. Ἐκ τῆς δυνάμεως ταύτης τοῦ ἀνέμου ἐξασκεῖται ἐπὶ τῶν σωμάτων πίεσις, ἥτις πολλάκις ἀποβαίνει τεραστία. Οὕτως ἐπὶ παραδείγματι ἡ ἐπὶ τῆς ἐπιφανείας ἑνὸς τετραγωνικοῦ μέτρου πίεσις κατὰ δευτερόλεπτον εἶνε τοῦ μὲν σφοδροῦ ἀνέμου ἄνω τῶν 38 ὀκάδων, τῆς καταιγίδος 60—80 ὀκάδων, τῆς δὲ λαίλαπος 138 ὀκάδων! Οἱ ἀρχιτέκτονες γνωρίζοντες τοῦτο, ἀναλόγως τῶν ἐν τοῖς διαφόροις τόποις ἐπικρατούντων ἀνέμων, δίδουσι τὴν εἰς τὴν πίεσιν ταύτην ἀπαιτουμένην ἀντοχὴν εἴς τε τοὺς τοίχους καὶ τὰς στέγας τῶν κτιρίων.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

Β'.

ΑΡΧΑΙΑ ΓΛΩΣΣΑ

Α'. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

1. Γεωργὸς καὶ ὄφις.

Γεωργός, χειμῶνος ὥρᾳ, ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δ' ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληξε τὸν εὐεργέτην.

2. Κοχλίαι.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. Ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη· «Ὦ κάκιστα ζῷα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;»

3. Ἔλαφος καὶ λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ. Λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη.

Θνήσκουσα δ' ἔλεγεν· οἴμοι! ὅτι, ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

4. Ἵππος καὶ ἱπποκόμος.

Κριθὴν τὴν τοῦ ἵππου ἱπποκόμος κλέπτων καὶ πωλῶν, τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. Ἔφη δ' ὁ ἵππος· «εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσαν μὴ πώλει».

5. Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐπὶ τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου παρόντος καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων ἔφη· «Ἵνα μου τὸν φόρτον ἄρῃς».

6. Ἔριφος καὶ λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν· ὁ δὲ λύκος ἔφη· «Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος».

7. Κύων καὶ λαγωός.

Κύων λαγωὸν διώξας ἐκράτησε· καὶ ποτὲ μὲν ἔδακνε ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἐφίλει. Καὶ ὁ

λαγωὸς εἶπεν· «Εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρός, τί σαίνεις οὐράν;»

8. Λύκος καὶ ποιμένες.

Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθών· «Ἡλίκος, ἔφη, ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν».

9. Γυνὴ καὶ ὄρνις.

Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δέ, ὡς, ἐὰν πλείους τῇ ὄρνιθι κριθὰς παραβάλῃ, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δὲ ὄρνις πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

10. Τέττιξ καὶ μύρμηκες.

Χειμῶνος ὥρᾳ, τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων, ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· «διατί τὸ θέρος οὐ συνῆγες τροφήν;» Ὁ δὲ εἶπεν· «Οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς». Οἱ δὲ γελάσαντες εἶπον· «Ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ».

11. Λύκος καὶ ἀμνός.

Λύκος ἀμνὸν ἐδίωκεν· ὁ δὲ εἰς ναὸν κατέφυγε. Προσκαλουμένου δ' αὐτὸν τοῦ λύκου καὶ λέγοντος

ὅτι θύσει ὁ ἱερεύς, ἐὰν καταλάβῃ, τῷ Θεῷ, ἐκεῖνος ἔφη· «Ἀλλ' αἱρετώτερόν μοί ἐστι Θεοῦ θυσίαν γενέσθαι ἢ ὑπὸ σοῦ διαφθαρῆναι.

12. Ἀλώπηξ.

Ἀλώπηξ, εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη· «Ὦ οἵα κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει».

13. Ἀνθρακεὺς καὶ γναφεύς.

Ἀνθρακεύς, ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ γναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ γναφεὺς ὑπολαβὼν ἔφη· « Ἀλλ' οὐκ ἂν ἔγωγε τοῦτο πρᾶξαι δυναίμην· δέδια γὰρ μήπως, ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

14. Λέων, ὄνος καὶ ἀλώπηξ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ λέων θυμωθείς, τὸν ὄνον κατέφαγεν. Εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτὴν «τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν;» Ἡ δ' εἶπεν· «ἡ τοῦ ὄνου συμφορά».

15. Ταὼς καὶ κολοιός.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον ἁπάντων, ὁ κολοιὸς ὑπολαβὼν ἔφη· «Ἀλλ' εἰ, σοῦ βασιλεύοντος, ἀετὸς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;»

16. Χελώνη καὶ ἀετός.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκών, εἶτ' ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

17. Αἰθίοψ.

Αἰθιοπά τις ὠνήσατο, τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν· καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

18. Καρκίνος καὶ ἀλώπηξ.

Καρκίνος ἀπὸ θαλάττης ἀναβὰς ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δέ, μέλλων καταβιβρώσκεσθαι, ἔφη· «Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὤν, χερσαῖος ἠβουλήθην γενέσθαι».

19. Λύχνος.

Μεθύων λύχνος ἐλαίῳ καὶ φαίνων ἐκαυχᾶτο ὡς ὑπὲρ ἥλιον λάμπει. Ἀνέμου δὲ πνεύσαντος, εὐθὺς ἐσβέσθη. Τὸ δεύτερον δ' ἅπτων τις εἶπεν αὐτῷ· «Φαῖνε, λύχνε, καὶ σίγα· τὸ τῶν ἀστέρων φέγγος οὔποτ' ἐκλείπει.

20. Ὄνος ἄγαλμα βαστάζων.

Ὄνῳ τις ἐπιθεὶς ἄγαλμα ἦγεν εἰς ἄστυ. Τῶν δὲ συναντώντων προσκυνούντων τὸ ἄγαλμα, ὁ ὄνος ὑπολαβὼν ὅτι αὐτὸν προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτό τε καὶ οὐκέτι περαιτέρω προϊέναι ἐβούλετο. Καὶ ὁ ὀνηλάτης αἰσθόμενος τὸ γεγονός, τῷ ῥοπάλῳ αὐτὸν παίων ἔφη· «Ὦ κακὴ κεφαλή, ἔτι καὶ τοῦτο λοιπὸν ἦν, ὄνον ὑπ' ἀνθρώπων προσκυνεῖσθαι».

21. Κόραξ νοσῶν.

Κόραξ νοσῶν ἔφη τῇ μητρὶ κλαιούσῃ· μὴ θρήνει, μῆτερ, ἀλλ' εὔχου τοῖς θεοῖς νόσου με ἀπαλλάξαι. Ἡ δὲ ὑπολαβοῦσα ἔφη· «Τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;»

22. Ὄνος καὶ λεοντῆ.

Ὄνος, δορὰν λέοντος ἐπενδυθείς, λέων ἐνομίζετο πᾶσι. Καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων· ὡς δέ, ἀνέμου πνεύσαντος, ἡ δορὰ περιῃρέθη, καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

23. Πῆραι δύο.

Ἄνθρώπων ἕκαστος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· γέμει δὲ κακῶν ἑκατέρα. Ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

24. Βουκόλος.

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε μόσχον· περιελθὼν δὲ καὶ μὴ εὑρὼν νῦξατο τῷ Διΐ, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. Ἐλθὼν δ' εἴς τινα δρυμὸν καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας εἰς τὸν οὐρανὸν τὰς χεῖρας εἶπε· «Δέσποτα Ζεῦ, πάλαι

μέν σοι πυξάμην ἔριφον θῦσαι, ἐὰν τὸν κλέπτην εὕρω· νῦν δὲ ταῦρον θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω».

25. Κομπαστής.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ καὶ ἐν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς ταῦτα δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη· «Ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων. Ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα».

26. Ναυαγός.

Ἀνὴρ πλούσιος Ἀθηναῖος ἑτέροις τισὶ συνέπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, οἱ μὲν ἄλλοι πάντες διενήχοντο, ὁ δ' Ἀθηναῖος παρ' ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυρία ἐπηγγέλλετο, ἐὰν περισωθῇ. Εἷς δέ τις τῶν συννεναυαγηκότων παρανηχόμενος ἔφη πρὸς αὐτόν· «Σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει».

27. Ὄνου σκιά.

Δημοσθένης ὁ ῥήτωρ λέγειν ποτὲ κωλυόμενος ὑπὸ

Ἀθηναίων ἐν ἐκκλησίᾳ βραχὺ ἔφη βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν. Τῶν δὲ σιωπησάντων, «νεανίας» εἶπε «θέρους ὥρᾳ παρά τινος ἐμισθώσατο ἐξ ἄστεως ὄνον Μεγαράδε. Μεσούσης δὲ τῆς ἡμέρας καὶ σφόδρα φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν, εἶργον δὲ ἀλλήλους, ὁ μὲν λέγων μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιάν, ὁ δὲ μεμισθωμένος πᾶσαν ἔχειν ἐξουσίαν». Καὶ ταῦτα εἰπὼν ἐσιώπησεν ὁ ῥήτωρ καὶ ἀπαλλαγῆναι ἐβούλετο. Τῶν δὲ Ἀθηναίων αὐτὸν κωλυόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, «ὑπὲρ μὲν ὄνου σκιᾶς» ἔφη «βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων οὐ βούλεσθε».

28. Ὁδοιπόροι καὶ πλάτανος.

Ὁδοιπόροι δύο θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δ' εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους· «ὡς ἀνωφελὲς καὶ ἄκαρπον τοῦτο ἀνθρώποις ἐστὶ δένδρον». Ἡ δὲ ὑποτυχοῦσα ἔφη· «ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε».

Β'. ΠΛΟΥΤΑΡΧΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ

1. Κότυς, ὁ Θρᾳκῶν βασιλεύς, φύσει ὢν ὀξὺς εἰς ὀργήν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστής, σκεύη ποτὲ κεράμεα κομίσαντος ξένου εὔθραυστα καὶ λεπτά, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν· «ὅπως» εἶπε «μὴ δι' ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας».

2. Ἀρχέλαος, ἀδολέσχου κουρέως ἐρωτήσαντος αὐτόν· «πῶς σὲ κείρω;» «Σιωπῶν» ἔφη.

3. Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας· «Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει». Τῶν δὲ παίδων λεγόντων ὅτι «ταῦτα σοὶ κτᾶται». «Τί τὸ ὄφελος» εἶπεν «ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ οὐδέν;»

4. Πτολεμαῖος ὁ Λάγου τὰ πολλὰ παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν· εἰ δέ ποτε δειπνίζοι, τοῖς ἐκείνων ἐχρῆτο, μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέζας· αὐτὸς δὲ οὐκ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τοῦ πλουτεῖν ἔλεγε τὸ πλουτίζειν εἶναι βασιλικώτερον.

5. Ἀντίγονος νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν, «οὐδὲν» ἔφη «χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν, ὡς ὄντας θνητούς».

6. Ἐπεὶ δέ ποτε χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι, καὶ τῶν στρατιωτῶν τινες ἐλοιδόρουν αὐτόν, ἀγνοοῦντες, ὅτι πλησίον ἐστίν, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας, «Οἰμώξετε», εἶπεν «εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε ἡμᾶς».

7. Θρασύλλου δὲ τοῦ κυνικοῦ δραχμὴν αἰτήσαντος αὐτόν, «ἀλλ' οὐ βασιλικόν» εἶπε «τὸ δόμα»· τοῦ δὲ εἰπόντος «οὐκοῦν τάλαντον δός μοι». «Ἀλλ' οὐ κυνικόν» ἔφη «τὸ λῆμμα».

8. Θεμιστοκλῆς ἔτι μειράκιον ὤν, ἐν πότοις ἐκυλινδεῖτο· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς Πέρσας, οὐκ ἔτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ, πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν, ὡς «οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥαθυμεῖν τὸ Μιλτιάδου τρόπαιον».

9. Ἐπεὶ τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμόν, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθε τῷ Ἀριστείδῃ κελεύων ἐγγράψαι τὸ ὄνομα αὐτοῦ «γινώσκεις γάρ» ἔφη «τὸν Ἀριστείδην;» τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ ἀπέδωκεν.

10. Ἀλεξάνδρου τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν Φωκίωνι πέμψαντος, ἠρώτησε τοὺς κομίζον-

τας τί δήποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος· εἰπόντων δὲ ἐκείνων, ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, «οὐκοῦν», ἔφη «ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον».

11. Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρήνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· «Ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται».

12. Ἀγησίλαος περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθείς, ποτέρα βελτίων, «οὐδὲν ἀνδρείας» ἔφη «χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι».

13. Κάτων ὁ πρεσβύτερος πολλῶν ὁρῶν ἀνισταμένους ἀνδριάντας, «ἐμοῦ δὲ» ἔφη «ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους, διὰ τί ἀνδριὰς οὐ κεῖται Κάτωνος ἢ διὰ τί κεῖται».

14. Τὸν δὲ ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

15. Γάϊος Καῖσαρ, ὅτε Σύλλαν ἔφευγεν ἔτι μειράκιον ὤν, περιέπεσε πειραταῖς· καὶ πρῶτον μὲν αἰτηθεὶς ἀργυρίου πλῆθος κατεγέλασε τῶν λῃστῶν, ὡς ἀγνοούντων ὃν ἔχουσι, καὶ διπλάσιον ὡμολόγησε δώσειν· ἔπειτα φρουρούμενος, ἕως συνῆγε τὰ χρήματα, προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ καὶ σιωπᾶν. Λόγους δὲ καὶ ποιήματα γράφων ἀνεγίνωσκεν αὐτοῖς, καὶ τοὺς μὴ λίαν ἐπαινοῦντας ἀναισθήτους καὶ βαρβάρους ἀπεκάλει καὶ μετὰ γέλωτος ἠπείλει κρεμᾶν αὐτούς· ὃ καὶ μετ' ὀλίγον ἐποίησε. Τῶν γὰρ λύτρων κομισθέντων ἀπολυθεὶς καὶ συναγαγὼν ἄνδρας ἐξ Ἀσίας καὶ πλοῖα, συνήρπασε τοὺς λῃστὰς καὶ προσήλωσεν.

16. Τὰς δ' Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε καὶ πρὸς τοὺς φίλους εἶπεν ὅτι «ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον, ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται».

17. Φαρνάκην νικήσας τὸν Ποντικὸν ἐξ ἐφόδου, πρὸς τοὺς φίλους ἔγραψεν· «Ἦλθον, εἶδον, ἐνίκησα».

18. Ἄγις ὁ νεώτερος πρὸς ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις «Τίς ἄριστος εἶπ Σπαρτιάτης;» «Ὁ σοὶ ἀνομοιότατος» ἔφη.

19. Σεμίραμις ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅστις ἂν χρημάτων δεηθῇ βασιλεύς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. Δαρεῖος οὖν διελών, χρήματα μὲν οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· «Εἰ μὴ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις».

20. Σεμνυνομένης γυναικός τινος Ἰωνικῆς ἐπί τινι τῶν ἑαυτῆς ὑφασμάτων ὄντι πολυτελεῖ, Λάκαινα ἐπιδείξασα τοὺς τέσσαρας υἱοὺς ὄντας κοσμιωτάτους, «Τοιαῦτα» ἔφη «δεῖν εἶναι τὰ τῆς καλῆς καὶ ἀγαθῆς γυναικὸς ἔργα καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν.

21. Εἰς τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου

στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη Ἀλέξανδρος. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένη ταὐτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. Ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δ' ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος· «Μικρὸν» εἶπεν «ἀπὸ τοῦ ἡλίου μετάστηθι». Πρὸς τοῦτο λέγεται Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε, τῶν περὶ αὐτόν, ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκωπτόντων, «ἀλλὰ μὴν ἐγὼ» εἶπεν «εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην».

22. Πρεσβύτης ἐν Ὀλυμπίᾳ, συντελουμένου ἀγῶνος, προθυμούμενος θεάσασθαι, καθέδρας ἠπόρει· πολλοὺς δ' ἐπιπορευόμενος τόπους, ὑβρίζετο καὶ ἐσκώπτετο, μηδενὸς αὐτὸν παραδεχομένου· ὡς δὲ κατὰ τοὺς Λακεδαιμονίους ἦκεν, ἀνέστησαν πάντες οἱ παῖδες καὶ πολλοὶ τῶν ἀνδρῶν, τοῦ τόπου ἐκχωροῦντες· τῶν δὲ πανελλήνων ἐπισημειωσαμένων κρότῳ τὸ ἦθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης, κινήσας

«πολιόν τε κάρη, πολιόν τε γένειον»

καὶ δακρύσας, «οἴμοι τῶν κακῶν!» φησὶν «ὡς ἅπαν-

τες μὲν οἱ Ἕλληνες ἐπίστανται τὰ καλά, χρῶνται δὲ αὐτοῖς μόνοι Λακεδαιμόνιοι».

23. Πιττακὸς οὐ κακῶς, τοῦ Αἰγυπτίων βασιλέως πέμψαντος ἱερεῖον αὐτῷ καὶ κελεύσαντος τὸ κάλλιστον καὶ τὸ χείριστον ἐξελεῖν κρέας, ἔπεμψεν ἐξελὼν τὴν γλῶσσαν, ὡς ὄργανον μὲν ἀγαθῶν, ὄργανον δὲ κακῶν τῶν μεγίστων οὖσαν.

Γ'. ΕΚ ΤΩΝ ΒΙΩΝ

Διογένους Λαερτίου.

1. Θαλῆς ὁ Μιλήσιος οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν· «Σὺ οὖν» ἔφη τις «διὰ τί οὐκ ἀποθνήσκεις;» «Ὅτι» ἔφη «οὐδὲν διαφέρει».

2. Φέρεται δ' ἀποφθέγματα αὐτοῦ τάδε· πρεσβύτατον τῶν ὄντων Θεός· ἀγέννητον γάρ. Κάλλιστον κόσμος· ποίημα γὰρ Θεοῦ. Μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ. Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει. Ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων. Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα.

3. Σόλων Ἐξηκεστίδου Σαλαμίνιος, πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις· τὸ δὲ ἦν λύτρωσις σωμάτων τε καὶ κτημάτων. Καὶ γὰρ ἐπὶ

σώμασιν ἐδανείζοντο, καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. Ἑπτὰ δὴ ταλάντων ὀφειλομένων αὐτῷ πατρῴων, συνεχώρησε πρῶτος καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προύτρεψε πρᾶξαι.

4. Φασὶ Χείλωνα Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν; Τὸν δὲ φάναι· «Τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν».

5. Ἐρωτηθείς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; Ἔφη· «Ἐλπίσιν ἀγαθαῖς». Τί δύσκολον; «Τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν».

6. Προσέταττε δὲ ταῦτα. Γλώττης κρατεῖν· μὴ κακολογεῖν τοὺς πλησίον· ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι· γῆρας τιμᾶν· ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἀτυχοῦντι μὴ ἐπιγελᾶν· τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ.

7. Πιττακὸς ὁ Μυτιληναῖος Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλάσια· ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.

8. Νόμους δὲ ἔθηκε. Τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν, ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου.

9. Ἔλεγε δέ. Συνετῶν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται ἀνδρείων δέ, γενόμενα εὖ θέσθαι. Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ. Φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν.

10. Βίας Τευτάμου Πριηνεύς, συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεώς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, «σιγᾶτε» ἔφη «μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας».

11. Ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον.

12. Κλεόβουλος ἔλεγε δεῖν, ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητεῖν πρότερον, τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ πάλιν, ζητεῖν τί ἔπραξε. Συνεβούλευέ τε εὖ τὸ σῶμα ἀσκεῖν. Φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαον· φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ. Γλῶσσαν εὔφημον ἴσχειν. Ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον. Ἀδικίαν φεύγειν. Πόλει τὰ βέλτιστα συμβουλεύειν. Ἡδονῆς κρατεῖν. Βίᾳ μηδὲν πράττειν. Τέκνα παιδεύειν. Ἔχθραν διαλύειν.

13. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης, «Εἰ πρὸ ὀφθαλμῶν» εἶπε «ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας».

14. Ὀνειδιζόμενος δὲ ὑπὸ Ἀττικοῦ, ὅτι Σκύθης ἐστίν, ἔφη· «Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρίς, σὺ δὲ τῆς πατρίδος».

15. Ἔλεγεν ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους.

16. Ἀρίστιππος ὁ Κυρηναῖος ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλου-

σίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; Ἔφη· «Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν».

17. Αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος, «λῦσον». «Τί, ὦ μάταιε» ἔφη «λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει;»

18. Λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος, «Τί φεύγεις;» «Ὅτι» φησὶ «τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ».

19. Συνιστάντος τινὸς αὐτῷ υἱόν, ἤτησε πεντακοσίας δραχμάς. Τοῦ δ' εἰπόντος, «Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι». «Πρίω» ἔφη « καὶ ἔξεις δύο».

20. Δεόμενός ποτε περὶ φίλου Διονυσίου καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ ἔπεσε. Πρὸς οὖν τὸν ἐπισκώψαντα, «Οὐκ ἐγὼ» φησὶν «αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων».

21. Ἀριστοτέλης ἐρωτηθείς, τί περιγίγνεται κέρδος τοῖς ψευδομένοις; «Ὅταν» ἔφη «λέγωσιν ἀλήθειαν μὴ πιστεύεσθαι».

22. Ἀκούσας ὑπό τινος λοιδορεῖσθαι, « Ἀπόντα με» ἔφη «καὶ μαστιγούτω».

23. Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν.

24. Ἐρωτηθείς, πῶς ἂν προκόπτοιεν οἱ μαθηταί; Ἔφη· « Ἐάν, τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι».

25. Ἀντισθένης Ἀντισθένους Ἀθηναῖος πρὸς τὸ μέλλον φοιτᾶν αὐτῷ μειράκιον καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, ἔφη· «Βιβλιαρίου καὶ νοῦ, καὶ γραφείου καὶ νοῦ, καὶ πινακιδίου καὶ νοῦ».

26. Ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει, «Καὶ οἱ ἰατροὶ» ἔφη «τοῖς κάμνουσιν».

27. Σωκράτης ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν ἵν' ἐσθίοιεν· αὐτὸν δὲ ἐσθίειν ἵνα ζῴη. Πρὸς δὲ τὸν εἰπόντα, «Κακῶς ὁ δεῖνά σε λέγει», «Καλῶς γὰρ» ἔφη «λέγειν οὐκ ἔμαθε».

28. Διογένης ὁ Σινωπεὺς γενόμενος Ἀθήνησιν Ἀντισθένει παρέβαλε. Τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προεδρείᾳ. Καί ποτε τὴν βακτηρίαν ἐπανατεινομένου αὐτῷ τὴν κεφαλὴν ὑποσχών, «Παῖε» εἶπεν· «οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον ᾧ μὲ ἀπείρξεις ἕως ἄν τι φαίνῃ λέγων». Τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον.

29. Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι.

30. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τῆς πήρας τὴν κοτύλην εἰπών· «Παιδίον μὲ νενίκηκεν εὐτελείᾳ». Ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον.

31. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπός ἐστι ζῷον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν εἰς τὴν σχολὴν αὐτοῦ καί φησιν· «Οὗτός ἐστιν ὁ τοῦ Πλάτωνος ἄνθρωπος». Ὅθεν τῷ ὅρῳ προσετέθη τὸ πλατυώνυχον.

32. Ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας γυμνούς, ἔφη· «Λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν».

33. Λύχνον μεθ' ἡμέραν ἅψας, «Ἄνθρωπον» φησὶ «ζητῶ». Εἰπόντος τινός· «Σινωπεῖς σου φυγὴν κατέγνωσαν». «Ἐγὼ δέ γε» εἶπεν «ἐκείνων μονήν».

34. Ἤτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, «Μελετῶ» εἶπεν «ἀποτυγχάνειν». Αἰτῶν τινα—καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν—ἔφη· «Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενί, ἀπὸ ἐμοῦ ἄρξαι».

35. Ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη· «Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ».

36. Ἰδών ποτε μειράκιον ἐρυθριῶν, «Θάρρει» ἔφη· «Τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα». Ἐρωτηθείς, ποῖον οἶνον ἡδέως πίνει, ἔφη. «Τὸν ἀλλότριον».

37. Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, «Γελοῖον» ἔφη «εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται».

38. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· «Κύον»· ὁ δὲ «Ὑμεῖς» εἶπεν «ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε».

39. Τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δέ, ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι.

40. Ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν, «Ὅτι» εἶπε «παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ θεῶν ἐν γούνασι κεῖται εἰ πάλιν λήψομαι».

41. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών· «Ἵνα μὴ πληγῶ».

42. Κλεάνθης διεβοήθη ἐπὶ φιλοπονίᾳ, ὥς γε πένης ὢν ἄγαν ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. Φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τύν τε κηπουρὸν μάρτυρα παρασχόντα, παρ' ὃν ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν.

Δ'. ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

1. Προμηθεύς.

Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρα Διός, ἐν νάρθηκι κρύψας. Ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ σκυθικὸν ὄρος ἐστίν. Ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδίδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο τῶν ἡπάτων αὐξανομένων διὰ νυκτός. Οὕτω Προμηθεὺς πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσε.

2. Δευκαλίων.

Προμηθέως παῖς Δευκαλίων ἐγένετο· οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων ἄγεται γυναῖκα Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἤθελε γένος, ὑποθεμένου Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς

Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους, ὀλίγων χωρίς, οἳ συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρνασσῷ προσίσχει, κἀκεῖ, τῶν ὄμβρων παύλαν λαβόντων, ἐκβὰς θύει Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ,τι βούλεται, ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε λίθους· καὶ οὓς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες. Ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ **λᾶας**, ὁ λίθος.

Γίγνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην μὲν πρῶτος, δεύτερος δὲ Ἀμφικτύων, ὁ μετὰ Δαναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηΐδος, Δῶρος, Ξοῦθος, Αἴολος. Αὐτὸς μὲν οὖν ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας· τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται· Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσεν.

3. Ἀργοναῦται.

Ἰάσων ὁ Αἴσονος τοῦ Κρηθέως ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευε μετὰ Κρηθέα· ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν· ὕστερον δ' αὐτὸν ἔγνω· τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν, ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσωνα μετεπέμψατο· ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν· διαβαίνων δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. Θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλών, ἠρώτα προσελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ, πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν· ὁ δέ, τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἂν φέρειν αὐτῷ. Τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν· τοῦτο δὲ ἐν Κόλχοις ἦν, ἐν Ἄρεως ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου.

Ἐπὶ τοῦτο δὲ πεμπόμενος Ἰάσων, Ἄργον παρεκάλεσε τὸν Φρίξου· κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε, τὴν προσαγορευθεῖσαν ὑπὸ τοῦ κατασκευάσαντος Ἀργώ, κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. Ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ Θεὸς αὐτῷ πλεῖν ἐπέτρεψε συναθροί-

σαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. Οὗτοι, ναυαρχοῦντος Ἰάσονος, προσίσχουσι Λήμνῳ. Ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν Θρᾴκης Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις πεπηρωμένος. Οὗτος ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις· καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν· ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας, τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον· ἐφέρετο δὲ πολλὴ μὲν ὑπ' αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος. Ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι. Ταῦτα ἀνήγοντο ἀκούσαντες· καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσαν ἐκ τῆς πρῴρας πελειάδα· τῆς δὲ ἱπταμένης, τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. Ἀναχωρούσας οὖν ἐπιτηρήσαντας τὰς πέτρας, μετ' εἰρεσίας ἐντόνου, συλλαβομένης Ἥρας, διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νεὼς περικοπείσης. Αἱ μὲν οὖν Συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς νεὼς περαιωθείσης στῆναι παντελῶς.

Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες Θερμώδοντα καὶ Καύκασον ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς νεώς, ἧκε πρὸς Αἰήτην Ἰάσων καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δὲ

δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ· ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἱ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δ' ἐκ στομάτων ἐφύσων. Τούτους αὐτῷ ζεύξαντι ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις, ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια ἡ θυγάτηρ Αἰήτου δεδοικυῖα, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὁμόσῃ αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὁμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνῦναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα, ἔφη, πρὸς μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικηθήσεσθαι μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν, ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρησάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε· σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δέ, ὅπου πλείονας ἑώρα, βάλλων ἀφανῶς λίθους πρὸς αὐτούς, μαχομένους ἀλλήλοις, προσιὼν ἀνῄρει. Καὶ καταζευγνυμένων τῶν ταύρων, οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτῆναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἦγαγε καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμήσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας εἰς τὴν Ἀργὼ παρεγένετο· συνείπετο δὲ αὐτῇ καὶ ὁ Ἀδελφὸς Ἄψυρτος· οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν. Εἰς Ἰωλκὸν δ' ἦλθον διὰ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος, τὸν πάντα πλοῦν ἐν τέσσαρσι μησὶ τελειώσαντες.

Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν τὸν Αἴσονα κτεῖναι ἤθελεν· ὁ δὲ αἰτησάμενος ἑαυτὸν ἀνελεῖν, θυσίαν ἐπιτελῶν, ἀδεῶς τοῦ ταύρου αἷμα σπασάμενος ἀπέθανεν· ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρασαμένη Πελίᾳ, νήπιον ἀπολιποῦσα παῖδα πρόμαχον, ἑαυτὴν ἀνήρτησε. Πελίας δὲ καὶ τὸν καταληφθέντα παῖδα ἀπέκτεινεν αὐτῆς. Ὁ δὲ Ἰάσων κατελθὼν τὸ μὲν δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων, καιρὸν ἐξεδέχετο· καὶ τότε μὲν εἰς Ἰσθμὸν μετὰ τῶν ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι· αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν, ὅπως Πελίας αὐτῷ δίκας ὑπόσχῃ· ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη

ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν κριὸν μελίσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα· αἱ δὲ πιστεύσασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθέψουσιν. Ἄκαστος δὲ ὁ Πελίου μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει. Οἱ δὲ ἦκον εἰς Κόρινθον.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΝΕΑ ΓΛΩΣΣΑ

1. Ἐργασία—ἀνάπαυσις	Σελ.	5
2. Προσευχὴ	»	6
2*. Ἡ προσευχὴ (ποίημα Δ. Βερναρδάκη)	»	7
3. Ὁ Θεὸς πανταχοῦ παρών	»	8
4. Ὁ Λινναῖος καὶ ἡ βιβλιοθήκη αὐτοῦ	»	11
5. Εἷνε Θεὸς (ποίημα Ἀχ. Παράσχου)	»	»
6. Ἀχθοφόρος καὶ φιλόσοφος	»	12
7. Περὶ ἑορτῶν	»	13
8. Τὸ γενέθλιον τῆς Θεοτόκου	»	14
9. Ἡ χρυσῆ ταμβακοθήκη	»	15
10. Τὰ τῆς ξηρᾶς ὕδατα	»	17
11. Ἀξιομίμητος φιλανθρωπία	»	19
12. Ἡ ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ	»	20
13. Ἀετὸς καὶ ἀράχνη	»	24
14. Τὰ τῆς θαλάσσης ὕδατα	»	24
15. Ὁ Ζεὺς καὶ ὁ ἵππος	»	27
16. Ὁ ἵππος (ποίημα)	»	28
17. Ἡ χιών	»	29
18. Ὠφέλιμον μάθημα	»	32
19. Ἡ δύναμις τῆς προσευχῆς	»	33

20. Ὅλα προσεύχονται (ποίημα Α. Παράσχου) . Σελ. 35
21. Ὁ ἀτμοσφαιρικὸς ἀὴρ . . . . . » 37
22. Ὕμνος πρὸς τὸν Θεὸν (ποίημα Α. Βλάχου) . » 45
23. Ὁ ἅγιος Δημήτριος . . . . . » 46
24. Μάθημα εἰς φίλαυτον . . . . . » 47
25. Περὶ θείας Προνοίας . . . . . » 49
26. Αἱ ἀσχολίαι τῆς Κυριακῆς . . . . . » 51
27. Ἀτμοσφαιρικὴ πίεσις . . . . . » 52
28. Ἡ φιλεργία . . . . . » 54
29. Ὁ Πιττακὸς καὶ ὁ μύλος αὐτοῦ . . . » 56
30. Ὁ Οὐασιγκτὼν καὶ ὁ δεκανεύς. . . . » »
31. Γνωμικὰ . . . . . » 57
32. Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος . . . » 58
33. Ἐφαρμογαὶ τῆς ἀτμοσφαιρικῆς πιέσεως. . » 60
34. Αὐταπάρνησις . . . . . » 64
35. Ὑγιὴς ἀφοσίωσις . . . . . » 66
36. Ἡ μήτηρ μου (ποίημα) . . . . . » 68
37. Ἡ ἐν τῷ ναῷ εἴσοδος τῆς Θεοτόκου . . » 70
38. Ὁ ἀφανὴς κόσμος . . . . . » 71
39. Ἀποτελέσματα τῆς ἐπὶ τοῦ ἀνθρώπου ἀτμοσφαιρικῆς πιέσεως. . . . . » 72
40. Ὁ Φαγόνδιος . . . . . » 75
41. Συμβουλαὶ τοῦ στομάχου . . . . . » 81
42. Ὁ ἅγιος Νικόλαος. . . . . » 83
43. Τὸ σῶμα τοῦ ἀνθρώπου . . . . . » 85
44. Περὶ θερμότητος . . . . . » 87
45. Ἡ πῆξις τοῦ ὕδατος καὶ τὰ ἐκ ταύτης ἀποτελέσματα . . . . . » 90

46. Ὁ ἀλέκτωρ . . . . . Σελ. 92
47. Ὁ μέγας Βασίλειος . . . . . » 96
48. Τὰ ἀποτελέσματα τῆς σταθερᾶς θελήσεως . » 99
49. Μία μητέρα (Σπ. Βασιλειάδου). . . . » 102
50. Ὁ Θεὸς καὶ ὁ Θάνατος (ποίημα Ι. Καρασούτσα) . . . . . » 115
51. Ῥεύματα ἀέρος· ἄνεμοι . . . . . » 116
52. Γρηγόριος ὁ θεολόγος ὁ Ναζιανζηνός. . . » 118
53. Τὸ φασόλιον . . . . . » 120
54. Οἱ μύρμηκες . . . . . » 123
55. Δάμων καὶ Φιντίας . . . . . » 126
56. Ἄνεμοι . . . . . » 129
57. Οἱ τρεῖς ἱεράρχαι . . . . . » 131
58. Ὠδὴ εἰς τοὺς τρεῖς ἱεράρχας (ποίημα Η. Ταντταλίδου) . . . . . » 133
59. Τὸ γένος τῶν φυτῶν . . . . . » 134
60. Αἱ ἐκ τῶν ἀνέμων ὠφέλειαι . . . . . » 141

ΑΡΧΑΙΑ ΓΛΩΣΣΑ

1. Αἰσώπειοι μῦθοι . . . . . » 143
2. Πλουτάρχου ἀποφθέγματα. . . . . » 152
3. Ἐκ τῶν βίων Διογένους Λαερτίου . . . » 157
4. Ἐκ τῆς Ἀπολλοδώρου βιβλιοθήκης . . » 164

ΔΙΟΡΘΩΣΙΣ

ΤΩΝ ΚΥΡΙΩΤΕΡΩΝ ΠΑΡΟΡΑΜΑΤΩΝ

Σελ.	16	στίχ.	1	ἀντί:	ἡμῶν	διόρθωσον:	ὑμῶν
»	40	»	20	»	Ἀνὴρ	»	Ἀήρ.
»	48	»	22	»	ἀναμφιβολίας	»	ἀμφιβολίας
»	50	»	6	»	χειρομάκτρου	»	τοῦ χειρομάκτρου.
»	68	»	10	»	γένοιτο	»	γένηται
»	72	»	7	»	ἀλλὰ	»	ἄλλα
»	84	»	24	»	πρᾳόσητος	»	πρᾳότητος
»	96	»	2	»	ῥιχιαῖα	»	ῥαχιαῖα
»	106	»	18	»	ἄκανθοι	»	ἄκανθαι
»	111	»	20	»	ἐμπρός του	»	ἐμπρός της.

